UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXVI. Quot Irenaeus elegantis ingenii monumenta nobis reliquit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

Victorem ſolùm, ſed ad multos alios Eccleſiarum antiſtites de quæſtione propoſita literas in eandem ſententiam miſit.

Caput XXV.

Quomodo cuncti in unam ſententiam de die Paſcha convenerint.

Huc refer Niceph. c.36. l.4.

EPiſcopi verò Palæſtinæ quos paulò ſuprà memoravimus, Narciſſus ſcilicet & Theophilus, & cum illis Caſſius Tyri, & Clarus Ptolemaïdis Epiſcopi, & qui ſimul cum ipſis convenerant, poſtquam de traditione diei Paſchalis, quæ jam inde ab Apoſtolis ad ipſos continuâ ſucceſſione manaverat, multa in ſuis literis diſſeruerunt, tandem ad finem epiſtolæ his utuntur verbis: Date operam ut epiſtolæ noſtræ exemplaria per omnes Eccleſias mittantur, ne nobis crimen imputent qui animas ſuas à recto veritatis tramite facilè abducunt. Illud etiam vobis ſignificamus, eodem quo apud nos die Paſcha Alexandriæ celebrari. A nobis enim ad illos, & viciſſim ab illis ad nos literæ perferuntur; ita ut uno conſenſu & ſimul ſacroſanctum peragamus diem.

Caput XXVI.

Quot Irenæus elegantis ingenii monumenta nobis reliquit.

CEterùm præter ſupradicta Irenæi opera & epiſtolas, exſtat etiam breviſſimus & inprimis neceſſarius ejuſdem liber adverſus Gentes, qui de ſcientia inſcribitur. Alius prætereà Marciano fratri nuncupatus, qui demonſtrationem continet Apoſtolicæ prædicationis. Denique libellus variarum diſputationum, in quo epiſtolæ ad Hebræos, & Sapientiæ Salomonis mentionem facit, & quaſdam ſententias ex iis libris adducit. Atque hæc ſunt quæ ex Irenæi Scriptis ad noſtram notitiam pervenerunt. Interim cùm per tredecim annos Commodus Imperium tenuiſſet, ac poſt ejus obitum Pertinax ſex circiter menſium ſpatio Rempublicam adminiſtraſſet, Imperator Severus ſumma rerum potitus eſt.

Caput XXVII.

Quot etiam ceteri qui eodem tempore floruerunt.

Huc refer Niceph. c.35. l.4.

POrrò veterum Eccleſiaſticorum virorum qui tunc temporis vixerunt, plurima adhuc ſervantur apud multos

A ἄρχουσιν ἐκκλησιῶν, τὰ κατάλληλα δι' ἐπιστολῶν περὶ τοῦ κεκινημένου ζητήματος ὡμίλει.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅπως τοῖς πᾶσι μία ψῆφος περὶ τοῦ Πάσχα συνεφωνήθη.

ΟἹ γε μὴν ἐπὶ Παλαιστίνης οὓς ἀρτίως διεληλύθαμεν, ὅ, τε Νάρκισσος καὶ Θεόφιλος καὶ σὺν αὐτοῖς Κάσσιος τῆς κατὰ Τύρον ἐκκλησίας Ἐπίσκοπος, καὶ Κλάρος τῆς ἐν Πτολεμαΐδι, οἵ τε μετὰ τούτων συνεληλυθότες, περὶ B τῆς καταλθούσης εἰς αὐτοὺς ἐκ διαδοχῆς τῶν Ἀποστόλων περὶ τοῦ Πάσχα παραδόσεως πλεῖστα διειληφότες, κατὰ τὸ τέλος τῆς γραφῆς αὐτοῖς ῥήμασιν ἐπιλέγουσι ταῦτα. Τῆς δὲ ἐπιστολῆς ἡμῶν πειράθητε κατὰ πᾶσαν ἐκκλησίαν ἀντίγραφα διαπέμψασθαι, ὅπως μὴ ἔνοχοι ὦμεν τοῖς ῥᾳδίως πλανῶσιν ἑαυτῶν τὰς ψυχάς. Δηλοῦμεν δὲ ὑμῖν ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ἐν Ἀλεξανδρείᾳ ἄγουσιν, ἧπερ καὶ ἡμεῖς. Παρ' ἡμῶν γὰρ τὰ γράμματα κομίζεται αὐτοῖς, καὶ ἡμῖν παρ' αὐτῶν. ὥστε συμφώνως καὶ ὁμοῦ ἄγειν ἡμᾶς τὴν ἁγίαν ἡμέραν. C

ΚΕΦΑΛΑΙΟΝ Κς'.

Ὅσα τῆς Εἰρηναίου φιλοκαλίας καὶ εἰς ἡμᾶς κατῆλθεν.

ἈΛλὰ γὰρ πρὸς τοῖς ἀποδοθεῖσιν Εἰρηναίου συγγράμμασι καὶ ταῖς ἐπιστολαῖς, φέρεταί τις αὐτοῦ πρὸς Ἕλληνας λόγος συντομώτατος καὶ τὰ μάλιστα ἀναγκαιότατος, περὶ ἐπιστήμης ἐπιγεγραμμένος· καὶ ἄλλος ὃν ἀνατέθεικεν ἀδελφῷ Μαρκιανῷ τοὔνομα, εἰς ἐπίδειξιν τοῦ Ἀποστολικοῦ κηρύγματος· καὶ βιβλίον τι διαλέξεων διαφόρων, ἐν ᾧ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς D καὶ τῆς λεγομένης Σοφίας Σολομῶντος μνημονεύει, ῥητά τινα ἐξ αὐτῶν παραθέμενος. καὶ τὰ μὲν εἰς ἡμετέραν ἐλθόντα γνῶσιν τῶν Εἰρηναίου τοσαῦτα. Κομόδου δὲ τὴν ἀρχὴν ἐπὶ δέκα καὶ τρισὶν ἔτεσι καταλύσαντος, αὐτοκράτωρ Σευῆρος οὐδ' ὅλοις μησὶν ἓξ μετὰ τὴν Κομόδου τελευτὴν Περτίνακος διαγενομένου, κρατεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὅσα καὶ τῶν λοιπῶν τῶν τηνικάδε συνηκμακότων.

ΠΛεῖστα μὲν οὖν παρὰ πολλοῖς εἰσέτι νῦν τῶν τότε σώζεται παλαιῶν καὶ ἐκκλη-